σεσιν εἴωθε περικυλίειν. ἰδίως δὲ καὶ περὶ τὰς εἰρημένας τῶν συσχηματιζομένων ἀστέρων φύσεις, πρὸς τὰ μέρη τοῦ σώματος, τὰ ἰδιώματα ποιοῦσι τῶν παθῶν. συνεργεῖ δ' αὐτοῖς πρὸς τὰς ἐπιτάσεις τῶν φαύλων, ὁ τοῦ ☿ ἀστὴρ τῷ μὲν τοῦ ♄, πρὸς τὸ ψυχρὸν συνοικειούμενος καὶ μᾶλλον ἐν κινήσει συνεχεῖ ποιῶν τούς τε ῥευματισμοὺς, καὶ τὰς τῶν ὑγρῶν ὀχλήσεις, ἐξαιρέτως δὲ, τὴν περὶ θώρακα καὶ στόμαχον καὶ φάρυγγα. τῷ δὲ τοῦ ♂ πρὸς τὸ ξηραντικώτερον συνεπιτείνων. ὡς ἐπί τε τῶν ἑλκωδῶν ψιλώσεων, καὶ * ἐσχαρώσεων, καὶ ἀποσκημάτων καὶ ἐρυσιπελάτων καὶ λειχήνων ἀγρίων ἢ μελαίνης χολῆς, ἢ νόσου ἱερᾶς, ἢ τῶν τοιούτων. καὶ παρὰ τὰς τῶν ζωδίων ἐναλλαγὰς τῶν τοὺς προειρημένους ἐπὶ τῶν δύο κέντρων σχηματισμοὺς περιεχόντων, γίνονταί τινες ποιότητες παθῶν. ἰδίως μὲν γὰρ ὁ καρκίνος, καὶ ὁ αἰγόκερως. καὶ οἱ ♓ καὶ ὅλως τὰ χερσαῖα καὶ τὰ ἰχθυϊκὰ ζώδια, τὰ τῶν νομῶν πάθη ποιεῖ. καὶ λειχήνων ἢ χοιράδων. ἢ συρίγγων. ἢ ἐλεφαντιάσεων καὶ τῶν τοιούτων. ὁ δὲ ♐, καὶ οἱ δίδυμοι, τὰ διὰ πτωματισμῶν ἢ ἐπιλήψεων. καὶ ἐν ταῖς ἐσχάταις δὲ μοίραις παρατυγχάνοντες οἱ ἀστέρες τῶν δωδεκατημορίων περὶ τὰ ἄκρα καὶ μάλιστα πάθη καὶ τὰ σίνη ποιοῦσι, διὰ λωβήσεων ἢ ῥευματισμῶν, ἀφ' ὧν ἐλεφαντιώσεις τε καὶ ὡς ἐπίπαν ποδάγραι καὶ χειράγραι συμβαίνουσι. τούτων δὲ οὕτως ἐχόντων, ἐὰν μηδεὶς τῶν ἀγαθοποιῶν συσχηματίζηται τοῖς τὰ αἴτια ποιοῦσι κακοποιοῖς, ἢ τοῖς κακωτρωμένοις φωσὶν, ἀνίατα καὶ ἐπαχθῆ, τά τε σίνη καὶ τὰ πάθη γενήσεται. ὡσαύτως δὲ κἂν συσχηματίζωνται μὲν, καθυπερτερῶνται δὲ, ὑπὸ τῶν κακοποιῶν ἐνδυναμούντων. ἐὰν δὲ καὶ αὐτοὶ κατὰ κυρίων ὄντες σχημάτων καθυπερτερῶσι τοὺς τὸ αἴτιον ἐμποιοῦντας κακοποιοὺς, τότε τὰ σίνη εὐσχήμονα καὶ οὐκ ἐπονείδιστα γίνεται, καὶ τὰ πάθη μέτρια καὶ εὐπαρηγόρητα. ἔσθ' ὅτε δὲ καὶ εὐαπάλλακτα, ἀνατολικῶν ὄντων τῶν ἀγαθοποιῶν. ὁ μὲν τοῦ ♃, βοηθείαις ἀνθρωπίναις, διὰ πλούτων ἢ ἀξιωμάτων, τά τε σίνη κρύπτειν εἴωθε, καὶ τὰ πάθη παρηγορεῖν, σὺν δὲ τῷ τοῦ ☿, καὶ φαρμακείαις ἢ ἰατρῶν ἀγαθῶν ἐπικουρίαις. ὁ δὲ τῆς ♀, διὰ προφάσεως θεῶν καὶ χρησμῶν, τὰ μὲν σίνη, τρόπον τινὰ εὔμορφα καὶ ἐπιχαρῆ κατασκευάζει. τὰ δὲ πάθη, ταῖς ἀπὸ θεῶν ἰατρείαις εὐπαρηγόρητα. τοῦ μέντοι ♄ * προσιόντος, μετὰ παραδειγματισμῶν καὶ ἐξαγορεύσεων καὶ τῶν τοιούτων. τοῦ δὲ τοῦ ☿ καὶ τῆς ἐπικουρίας καὶ μεισμοῦ τινος, ἢ δι' αὐτῶν τῶν σινῶν, ἢ καὶ παθῶν τοῖς ἔχουσι περιγινομένου.